Σουσαν αβιρα, 2καὶ ἦλθεν Ανανι εἷς ἀπὸ ἀδελφῶν μου, αὐτὸς καὶ 2
ἄνδρες Ιουδα, καὶ ἠρώτησα αὐτοὺς περὶ τῶν σωθέντων, οἳ κατ-
ελείφθησαν ἀπὸ τῆς αἰχμαλωσίας καὶ περὶ Ιερουσαλημ. 3καὶ εἴποσαν 3
πρός με Οἱ καταλειπόμενοι οἱ καταλειφθέντες ἀπὸ τῆς αἰχμαλωσίας
ἐκεῖ ἐν τῇ χώρᾳ ἐν πονηρίᾳ μεγάλῃ καὶ ἐν ὀνειδισμῷ, καὶ τείχη
Ιερουσαλημ καθῃρημένα, καὶ αἱ πύλαι αὐτῆς ἐνεπρήσθησαν ἐν πυρί.
4καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαί με τοὺς λόγους τούτους ἐκάθισα καὶ 4
ἔκλαυσα καὶ ἐπένθησα ἡμέρας καὶ ἤμην νηστεύων καὶ προσευχόμε-
νος ἐνώπιον θεοῦ τοῦ οὐρανοῦ 5καὶ εἶπα Μὴ δή, κύριε ὁ θεὸς 5
τοῦ οὐρανοῦ ὁ ἰσχυρὸς ὁ μέγας καὶ ὁ φοβερός, φυλάσσων τὴν
διαθήκην καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τοῖς φυλάσσουσιν
τὰς ἐντολὰς αὐτοῦ· 6ἔστω δὴ τὸ οὖς σου προσέχον καὶ οἱ ὀ- 6
φθαλμοί σου ἀνεῳγμένοι τοῦ ἀκοῦσαι προσευχὴν δούλου σου, ἣν
ἐγὼ προσεύχομαι ἐνώπιόν σου σήμερον ἡμέραν καὶ νύκτα περὶ
υἱῶν Ισραηλ δούλων σου καὶ ἐξαγορεύω ἐπὶ ἁμαρτίαις υἱῶν Ισραηλ,
ἃς ἡμάρτομέν σοι. καὶ ἐγὼ καὶ ὁ οἶκος πατρός μου ἡμάρτομεν·
7διαλύσει διελύσαμεν πρὸς σὲ καὶ οὐκ ἐφυλάξαμεν τὰς ἐντολὰς 7
καὶ τὰ προστάγματα καὶ τὰ κρίματα, ἃ ἐνετείλω τῷ Μωυσῇ παιδί
σου. 8μνήσθητι δὴ τὸν λόγον, ὃν ἐνετείλω τῷ Μωυσῇ παιδί σου 8
λέγων Ὑμεῖς ἐὰν ἀσυνθετήσητε, ἐγὼ διασκορπιῶ ὑμᾶς ἐν τοῖς
λαοῖς· 9καὶ ἐὰν ἐπιστρέψητε πρός με καὶ φυλάξητε τὰς ἐντολάς 9
μου καὶ ποιήσητε αὐτάς, ἐὰν ᾖ ἡ διασπορὰ ὑμῶν ἀπ᾽ ἄκρου τοῦ
οὐρανοῦ, ἐκεῖθεν συνάξω αὐτοὺς καὶ εἰσάξω αὐτοὺς εἰς τὸν τόπον,
ὃν ἐξελεξάμην κατασκηνῶσαι τὸ ὄνομά μου ἐκεῖ. 10καὶ αὐτοὶ παῖ- 10
δές σου καὶ λαός σου, οὓς ἐλυτρώσω ἐν δυνάμει σου τῇ μεγάλῃ
καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ. 11μὴ δή, κύριε, ἀλλ᾽ ἔστω τὸ οὖς 11
σου προσέχον εἰς τὴν προσευχὴν τοῦ δούλου σου καὶ εἰς τὴν
προσευχὴν παίδων σου τῶν θελόντων φοβεῖσθαι τὸ ὄνομά σου,
καὶ εὐόδωσον δὴ τῷ παιδί σου σήμερον καὶ δὸς αὐτὸν εἰς οἰκτιρ-
μοὺς ἐνώπιον τοῦ ἀνδρὸς τούτου. — καὶ ἐγὼ ἤμην οἰνοχόος τῷ
βασιλεῖ.

1 αβειρρα A† || 2 αδελφων] pr. των B$L^p$† | κατελιπησαν B*† (uid.) || 3 οι καταλειφθ. > Apl. | εν τη χωρα] + εν (+ τη S†) πολει BSV† | τειχη] pr. τα S$^c$$L$† | αι > SA || 4 θεου] pr. του S || 5 μη δη > S† | του ουρ. > S† | ο 4$^0$ SA$L^p$†] > rel. | ελεος] + σου B† || 6 προσευχην] pr. την S$^c$$L$† | εξαγορευων B† | αμαρτιας A† | πατρος] pr. του SV$L^p$† || 7 προς σε > BSV† || 8 τω μ. παιδι σου] τω > S†, τω παιδι σου μ. A | λεγων > S† | ασυνθετησητε] συν > S†: cf. Ps. 77 57 || 9 η 2$^0$ > S† | ουρανου] + εως ακρου του ουρανου S$^c$$L$† | και ult. > S† || 10 δυναμει] pr. τη B | τη μεγ. > S† || 11 κυριε mu.] > BSAV; + μη αποστρεψης το προσωπον σου S$^c$$L$† | τουτου > A† | οινοχοος] ευνουχος BSV†: item Origenes ed. Delarue III p. 657